# Matthew 6:19-24

## Greek

**Verb Moods:**

**Indicative**
**Imperative**
**Subjunctive**
Infinitive

19 Μὴ **θησαυρίζετε** ὑμῖν θησαυροὺς (ἐπὶ τῆς γῆς),
ὅπου σὴς καὶ βρῶσις **ἀφανίζει**,
καὶ ὅπου κλέπται **διορύσσουσιν** καὶ **κλέπτουσιν**·
20 **θησαυρίζετε** δὲ ὑμῖν θησαυροὺς (ἐν οὐρανῷ),
ὅπου οὔτε σὴς οὔτε βρῶσις **ἀφανίζει**,
καὶ ὅπου κλέπται οὐ **διορύσσουσιν** οὐδὲ **κλέπτουσιν**·
21 ὅπου γάρ **ἐστιν** ὁ θησαυρός σου,
ἐκεῖ **ἔσται** καὶ ἡ καρδία σου.

22 Ὁ λύχνος τοῦ σώματός **ἐστιν** ὁ ὀφθαλμός.
ἐὰν **οὖν** **ᾖ** ὁ ὀφθαλμός σου ἁπλοῦς,
↳ ὅλον τὸ σῶμά σου φωτεινὸν **ἔσται**·
23 ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς **ᾖ**,
↳ ὅλον τὸ σῶμά σου σκοτεινὸν **ἔσται**.
εἰ **οὖν** τὸ φῶς τὸ ἐν σοὶ σκότος **ἐστίν**,
↳ τὸ σκότος πόσον.

24 Οὐδεὶς **δύναται** δυσὶ κυρίοις δουλεύειν·
ἢ γὰρ τὸν ἕνα **μισήσει** καὶ τὸν ἕτερον **ἀγαπήσει**,
ἢ ἑνὸς **ἀνθέξεται** καὶ τοῦ ἑτέρου **καταφρονήσει**.
οὐ **δύνασθε** θεῷ δουλεύειν καὶ μαμωνᾷ.